www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΕΚ ΤΩΝ Ο΄

**Ἡρωδίονος, Ἀγάβου, Ρούφου, Φλέγοντος, Ἀσυγκρίτου καί Ἑρμᾶ**

AEDTG
* Θεολ. 4066

**ΕΟΡΤΑΖΕΤΑΙ ΤΗΝ 8ην ΑΠΡΙΛΙΟΥ**

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΕΚ ΤΩΝ Ο΄
## Ἡρῳδίωνος, Ἀγάβου, Ρούφου, Ἀσυγκρίτου, Φλέγοντος, Ἑρμοῦ.

### Ἑορτάζεται 8 Ἀπριλίου

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ

**ΤΗ Η΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ἡρῳδίωνος, Ἀγάβου, Ρούφου, Ἀσυγκρίτου, Φλέγοντος και Ἑρμοῦ.

**ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ**

Εις τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄ καί ψάλλομεν Στιχηρά τοῦ Τριῳδίου γ΄ καί τῶν Ἀποστόλων γ΄

**Ἦχος δ΄. *Ὡς γενναῖον ἐν Μάρτυσιν.***

Ἀετοί ὡς ὑπόπτεροι, πᾶσαν γῆν διεδράμετε, τά σεπτά διδάγματα, κατασπείροντες, καί τά ζιζάνια τέμνοντες, τῆς πλάνης ἐν χάριτι, καί πολύχουν τόν καρπόν, γεωργοῦντες Πανεύφημοι, ὅν κατέχουσι, νοηταί ἀποθῆκαι, εἰς αἰῶνας, Γεωργῷ τῷ ἀθανάτῳ, περιφανῶς συντηρούμενον.

Ἡρῳδίωνα, Ἄγαβον, καί Ἀσύγκριτον, Ροῦφον τε, καί Ἑρμῆν καί Φλέγοντα, μακαρίσωμεν, τά τῆς ἀμπέλου τυγχάνοντα, κατάκαρπα κλήματα, ἀποστάζοντα ἡμῖν, γλυκασμόν τόν σωτήριον, τόν εὐφραίνοντα, τάς διψώσας καρδίας τῶν ἐν πίστει, ἀληθεῖ τούτων τήν μνήμην, ἐπιτελούντων τήν εὔσημον.

Οὐρανοί χρηματίσαντες, ὑψηλοί τήν διάνοιαν, δόξαν ἀναγγέλλετε, τοῦ Θεοῦ ἡμῶν, τοῦ σαρκωθέντος θελήματι, θεόπται Ἀπόστολοι, ὁδηγοί τῶν εὐσεβῶν, Ἐκκλησίας θεμέλιοι, πύργοι ἄσειστοι, εὐσεβείας λιμένες, ἀπορρήτων, μυστηρίων ὑπηρέται, φωταγωγοί τῶν ψυχῶν ἡμῶν.

**Δόξα. Ἦχος Α΄**

Τοῦ νοητοῦ ἡλίου ἀκτῖνες ὑπάρχοντες, τήν σύμπασαν ἐφαιδρύνατε καί τόν ζόφον τῶν εἰδώλων, τόν καλύπτοντα τήν τοῦ Θεοῦ ἐπίγνωσιν ὁλοσχερῶς ἠφανίσατε. Ἴαμα θεῖον τῇ τοῦ κηρύγματος ἡμῶν σοφίᾳ τῇ οἰκουμένῃ ἐσπείρατε καί τήν πονηράν γῆν τῆς ἀσέβειας καταστροφῇ τελείᾳ παραδώκατε, διό καί ὁ Θεός ὑμᾶς ἐδόξασεν ἀμαραντίνοις στεφάνοις



ΘΕΟΛ
AEDTG
4066

www.tezaurliturgic.ro

καί τά ἀγαθά τῆς αὐτοῦ βασιλείας ἐδωρήσατο εὐφραίνεσθαι εἰς τούς αἰῶνας.

### Θεοτοκίον ὁ αὐτός

Τήν παγκόσμιον δόξαν τήν ἐξ ἀνθρώπων σπαρεῖσαν καί τόν Δεσπότην τεκοῦσαν, τήν ἐπουράνιον πύλην· ὑμνήσωμεν Μαρίαν τήν Παρθένον τῶν ἀσωμάτων τό ᾆσμα και τῶν πιστῶν τό ἐγκαλλώπισμα. Αὕτη γάρ ἀνεδείχθη οὐρανός καί ναός τῆς Θεότητος· αὕτη τό μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε και τό Βασίλειον ἠνέωξε. Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τήν ἄγκυραν ὑπέρμαχον ἔχομεν τόν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαός τοῦ Θεοῦ και γάρ αὐτός πολεμήσει τούς ἐχθρούς ὡς παντοδύναμος.

Εἴσοδος. Φῶς ἱλαρόν..., τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Και ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας. καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· και περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπόν ἁλοῦνται· καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσα-

www.tezaurliturgic.ro

τε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταί περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα**

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ῥεμβασμός ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί, ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον, ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ

## ΑΚΟΛΟΥΘΙΑ ΛΙΤΗΣ

### Ἦχος α´

Τούς κήρυκας τῆς πίστεως καί θεοσόφους ἀποστόλους ἐν ὕμνοις καί ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν καί εὐφροσύνως αἰνέσωμεν αὐτούς λέγοντες. Χαίρετε σοφοί διδάσκαλοι τῆς οἰκουμένης, Ἄγαβε, Ροῦφε, Ἀσύγκριτε οἱ καθαιρέται τῆς πλάνης καί διῶκται τοῦ σκότους τῆς εἰδωλομανίας· οἱ διαλύσαντες τό κράτος τοῦ Βελίαρ πρεσβεύετε δεόμεθα τῷ παντάνακτι Θεῷ σωθῆναι ἡμᾶς.

### Ἦχος β´

Τίς διηγήσεται τούς κόπους καί τούς μόχθους ὑμῶν ἐν τῷ Εὐαγγελίῳ, τούς διωγμούς, τά δεσμά, τάς κακώσεις, τάς θλίψεις; ἀδυνατεῖ ἀνθρώπινος νοῦς νοῆσαι πώς μία δράξ ἀνθρώπων ἐφώτισε πᾶσαν τήν ὑφήλιον καί ἐδίδαξαν τήν ἀληθῆ θεογνωσίαν. Μακαριζέσθωσαν ὄντως ἀξίως Φλέγων, Ἑρμῆς, καί Ἡρωδίων ὡς τοῦ Χριστοῦ φίλοι καί διδάσκαλοι τῆς οἰκουμένης.

### Ἦχος δ´

Προφητικῶς ἐξῆλθεν ὁ φθόγγος ὑμῶν εἰς τήν οἰκουμένην θεοκήρυκες ἀπόστολοι· καί ἡ δύναμις τῶν ἔργων ὑμῶν καί τῶν θαυμάτων ἡ λάμψις μετέπλασαν τούς ἀνθρώπους εἰς υἱούς φωτός καί τούς ἐξοφωμένους ἐκ τῆς ἀθεΐας καί πλάνης λαούς πολίτας τῆς οὐρανίου βασιλείας ἀνέδειξαν.

### Ἦχος δ´

Τοῦ παναγίου πνεύματος τήν χάριν δεξάμενοι, παμμακάριστοι ἀπόστολοι καί τοῦ παρακλήτου τῷ φωτί ἐλλαμφθέντες τήν μωράν θρησκείαν τῶν εἰδώλων ἠφανίσατε. Ὄντως δεδόξασται μεγάλως ὁ Θεός ἐν λόγοις καί ἔργοις καί θαύμασιν ὑμῶν καί φίλους αὐτοῦ ἀνεκήρυξε καί τήν ἄνω Ἱερουσαλήμ ἐκληροδότησε καί κριτάς τοῦ Ἰσραήλ κατέστησε.

### Δόξα. Ἦχος πλ. β´.

Ἐξέλαμψε σήμερον ἡ μνήμη τῶν σοφωτάτων ἀποστόλων Ἀγάβου, Ρούφου, Ἑρμοῦ, Ἀσυγκρίτου, Φλέγοντος καί Ἡρωδίωνος καί ἡ Οἰκουμένη αὐγάζεται ταῖς ἀκτῖσι τῶν ἔργων αὐτῶν καί βοᾷ γηθοσύνως. Χαίρετε φωτισταί τῶν ἐν σκότει καί πιστῶν τό ἀγαλλίαμα καί τῆς Ἐκκλησίας τό μέγα ἀγλάϊσμα καί πρεσβεύετε ἀδιαλείπτως ὑπέρ εἰρήνης καί σωτηρίας τῶν πιστῶν.

### Καί νῦν. Θεοτοκίον. Ὁμόηχον

Θεοτόκε σύ εἶ ἡ ἄμπελος ἡ ἀληθινή ἡ βλαστήσασα τόν καρπόν τῆς ζωῆς· σέ ἱκετεύομεν πρέσβευε

www.tezaurliturgic.ro

Δέσποινα μετά τῶν ἀποστόλων καί πάντων τῶν ἁγίων ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

## ΑΠΟΣΤΙΧΑ

**Ἦχος α΄. «Τῶν οὐρανίων...»**

Τῶν ἀποστόλων τήν μνήμην πανηγυρίσωμεν καί μέλψωμεν τοῖς ὕμνοις ἐν ψυχῆς εὐφροσύνῃ, καί γάρ οὗτοι πρεσβεύουσι τῷ Θεῷ παρρησίαν ὡς ἔχοντες, ἵνα ρυσθῶμεν κινδύνων καί πειρασμῶν καί παγίδων τοῦ ἀλάστορος.

Στίχος: Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν...

Τούς σεβομένους τούς λίθους, τό πῦρ, τά εἴδωλα, καί πᾶσαν τήν ἀπάτην τοῦ δεινοῦ βροτοκτόνου, Ἄγαβε καί Ροῦβε καί Φλέγον σοφέ, υἱούς φωτός ἐποιήσατε, ἀναγεννήσαντες τούτους πνευματικῶς τοῖς σοφοῖς ὑμῶν διδάγμασι.

Στίχος: Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ...

Ἑρμῆν, Ἀσύγκριτον, Ροῦφον καί Ἡρωδίωνα, τούς φωταυγεῖς λαμπτῆρας τῆς Χριστοῦ Ἐκκλησίας· ἀνευφημήσωμεν τούτους θεοπρεπῶς ὡς δοχεῖα τοῦ Πνεύματος, τούς νοητούς μαργαρίτας τοῦ οὐρανοῦ καί τοῦ κόσμου τά αὐγάσματα.

**Δόξα. Ἦχος δ΄**

Δεῦτε ἅπαντες πιστοί, τῆς οὐρανίου μυσταγωγίας τούς κήρυκας καί ὑποφήταις τοῦ Λόγου ψαλμοῖς καί ὕμνοις εὐφημήσωμεν· οὗτοι γάρ ποταμοί ὕδατος ζῶντος ἀνεδείχθησαν καί τούς διψῶντας τήν ἀλήθειαν ἐπότισαν αἰώνιον δροσισμόν παρέχοντες αὐτοῖς. Τούτους ὑμνήσωμεν χαρμονικῶς λέγοντες· Χαίρετε Ἡρωδίων, Ροῦφε, Ἄγαβε, Ἀσύγκριτε φωταυγεῖς ἀστέρες τῆς ἐκκλησίας. Χαίρετε Φλέγον καί Ἑρμᾶ γνήσιοι φίλοι Χριστοῦ καί ἀκάματοι ἐργάται τοῦ ἀμπελῶνος αὐτοῦ, ὡς ἔχοντες παρρησίαν μεγάλην μή διαλίπητε πρεσβεύοντες ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Καί νῦν. Θεοτοκίον. Ὁμόηχον**

Σέ τό καθαρώτατον τοῦ Βασιλέως παλάτιον, δυσωπῶ πολυύμνητε, τόν νοῦν μου καθάρισον τόν ἐσπιλωμένον, πάσαις πλημμελείαις καί καταγώγιον τερπνόν, τῆς Ὑπερθέου Τριάδος ποίησον· ὅπως τήν δυναστείαν σου καί τήν πολλήν εὐσπλαγχνίαν σου μεγαλύνω σωζόμενος ὁ ἀχρεῖος ἱκέτης σου.

**Ἀπολυτίκιον**
**Ἦχος γ΄**

Ἀπόστολοι ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Θεοτοκίον ὅμοιον**

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦ-

www.tezaurliturgic.ro

μεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκί γάρ τῇ ἐκ σοῦ προσληφθείσῃ ὁ Υἱός σου καί Θεός ἡμῶν τό διά σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## ΟΡΘΡΟΣ

## ΚΑΘΙΣΜΑΤΑ

Εἰς τό Θεός Κύριος τό ἀπολυτίκιον δίς καί ἅπαξ τό Θεοτοκίον.

**Μετά τήν Α΄ στιχολογίαν κάθισμα Ἦχος γ΄ «Ἀπόστολοι ἐκ περάτων»**

Ὡς ἄλλος ἥλιος λάμπει, τῶν ἱερῶν ἀποστόλων, παμφαεστάτη ἡμέρα, καί ἡμᾶς πάντας φωτίζει, τούς ἑορτάζοντας ταύτην, πίστει καί πόθῳ, καί καταυγάζει τήν κτίσιν.

**Θεοτοκίον**

Ὁ γλυκασμός τῶν ἀγγέλων τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, παρθένε μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καί ῥῦσαι τῶν αἰωνίων βασάνων.

Παρακλήτου δύναμιν ἐνδεδυμένοι, τοῦ Χριστοῦ τήν σάρκωσιν λόγοις καί θαύμασι σεπτοῖς, κόσμῳ παντί ἐγνωρίσατε, πνευματοφόροι Κυρίου ἀπόστολοι.

**Θεοτοκίον**

Ἐν τῇ σκέπῃ ἄχραντε τῇ σῇ παρθένε προσλαβοῦσα δέησιν προσδεξάμενη παρ' ἡμῶν μή διαλίπῃς πρεσβεύουσα, πρός τόν Υἱόν σου σωθῆναι τούς δούλους σου.

**Μετά τόν πολυέλεον Κάθισμα Ἦχος πλ. δ΄ «Την σοφίαν...»**

Τούς φωστῆρας τοῦ κόσμου τούς παμφαεῖς, τούς φωτίσαντας πάντας τούς ἐν τῇ γῇ, τόν πλοῦτον μισήσαντας καί τήν σάρκα νεκρώσαντας, καί τοῦ Εὐαγγελίου τόν λόγον ἐνσπείραντας, καί τούς ἐν σκοτίᾳ ὑπνοῦντας ἐγείραντας, καί κληρονόμους θείας ζωῆς ἀναδείξαντας· τούτους ὁμοφρόνως θείοις στέψωμεν ὕμνοις, πρεσβεύειν πρός Κύριον τοῦ λαβεῖν ἡμᾶς ἄφεσιν, τούς προστρέχοντας πίστει ὑμῖν καί αἰτουμένους λαβεῖν θεῖον ἔλεος.

**Θεοτοκίον**

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν ἀπό βρέφους μολύνας ὁ μιαρός, καί λόγοις καί πράξεσιν ἐμαυτόν κατερρύπωσα, καί οὐκ ἔχω τί πρᾶξαι οὐδέ καταφύγων, ἀλλ' οὐδ' ἄλλην ἐλπίδα πλήν σου κόρη ἐπίσταμαι· φεῦ μοι τῷ ἀχρείῳ διά τοῦτο ἱκέτης, πρός σέ τήν πανάχραντον νῦν· προστρέχω καί δέομαι ὁμολογῶν σοι τό ἥμαρτον· πρέσβευε τῷ σῷ Υἱῷ καί Θεῷ τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, εἰς

www.tezaurliturgic.ro

σέ γάρ πᾶσαν ἐλπίδα ἀνέθηκα Δέσποινα.

**Εἶτα τό α΄ ἀντίφωνον ἀναβαθμῶν δ΄ ἤχου**

Ἐκ νεότητος μου πολλά πολεμεῖ με πάθη ἀλλ' αὐτός ἀντιλαβοῦ καί σῶσον σωτήρ μου (δίς)

**Θεοτόκιον Β΄ στιχολογίας**

Ἐν τῇ σκέπῃ ἄχραντε τῇ σῇ παρθένε προσλαβοῦσα δέησιν, προσδεξαμένη παρ' ἡμῶν μή διαλίπῃς πρεσβεύουσα, πρός τόν Υἱόν σου σωθῆναι τούς δούλους σου.

Οι μισοῦντες Σιών αἰσχύνθητε ἀπό τοῦ Κυρίου, ὡς χόρτος γάρ πυρί ἔσεσθε ἀπεξηραμμένοι (δίς).

**Δόξα**: Ἁγίῳ πνεύματι πᾶσα ψυχή ζωοῦται καί καθάρσει ὑψοῦται λαμπρύνεται τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Καί νῦν**: Ἁγίῳ Πνεύματι ἀναβλύζει τά τῆς χάριτος ῥεῖθρα ἀρδεύοντα ἅπασαν τήν κτίσιν πρός ζωογονίαν.

**Προκείμενον:**

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ῥήματα αὐτῶν (γ΄)

**Στίχ. εἰς τό γ΄.** Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ ποίησιν δέ χειρῶν Αὐτοῦ ἀναγγέλλει το στερέωμα.

**Ἀναβαθμοί. Ἐκ νεότητός μου... Τό α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. Καί τό προκείμενον.**

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ῥήματα αὐτῶν.

Στίχ. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δέ χειρῶν αὐτοῦ ἀναγγέλλει τό στερέωμα.

## ΕΥΑΓΓΕΛΙΟΝ

**Ἐκ τοῦ κατά Λουκᾶν... (κα΄ 12-20)**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπό τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γάρ ἐφ' ὑμᾶς τάς χεῖρας αὐτῶν καί διώξουσι, παραδιδόντες εἰς συναγωγάς καί φυλακάς, ἀγομένους ἐπί βασιλεῖς καί ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δέ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τάς καρδίας ὑμῶν μή προμελετᾶν ἀπολογηθῆναι· ἐγώ γάρ δώσω ὑμῖν στόμα καί σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδέ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δέ καί ὑπό γονέων καί συγγενῶν καί φίλων καί ἀδελφῶν, καί θανατώσουσιν ἐξ ὑμῶν, καί ἔσεσθε μισούμενοι ὑπό πάντων διά τό ὄνομά μου· καί θρίξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μή ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τάς ψυχάς ὑμῶν.

## ΚΑΤΑΒΑΣΙΑΙ ΘΕΟΤΟΚΟΥ

Ἐντός Τριωδίου ὅρα τήν Η΄ περίπτωσιν τοῦ Ἁγίου Χαραλάμπους ὁμοίως καί ἐν καθημερινῇ Μεγάλης τεσσαρακοστῆς. Ἐν Κυριακῇ ὅρα σχετικήν διάταξιν τῆς ἡμέρας ἐκείνης.

www.tezaurliturgic.ro

Ἐν **προηγιασμένῃ** οὐδέν τοῦ τριῳδίου ψάλλομεν εἰς τόν ὄρθρον, μετά τήν μεγάλην δοξολογίαν. Αἱ ΩΡΑΙ ψάλλονται λιταί. (μόνον με το απολυτίκιον καί Κοντάκιον τῶν ἀποστόλων).

**Εἰς τόν Ἑσπερινόν** ψάλλομεν στιχ. καί τροπάρια (10) ἀπόστιχα τριωδίου 3 + Προσόμοια Τριωδ. 3 + Ἑορτάζοντος ἁγίου 4 (ὄχι ἁγίου ἑπομένης ἡμέρας). **Εἴσοδος.** Ἀναγνώσματα κέλευσον, κατευθυνθήτω κ.λ. Εὐλόγησις ἄρτων, ἄν ὑπάρχει, Ἀπόστολος καί Εὐαγγέλιον ἑορτάζοντος ἁγίου καί ἐν συνεχεία ἡ λειτουργία προηγιασμένων δώρων ὡς συνήθως.

### Ὁ Ν΄ (50) ψαλμός

**Δόξα:** Ταῖς τῶν ἀποστόλων πρεσβείαις ἐλεῆμον ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καί νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

### Ἰδιόμελον Ἦχος πλ. β΄

Ταῖς ἐντολαῖς τοῦ Θεοῦ πορευόμενοι, οἰκείῳ αἵματι ἐδοξάσατε τήν ὁμολογίαν τῆς πίστεως, θανατωθέντες ὑπό Ἰουδαίων παμμακάριστοι Ἀπόστολοι. Καί νῦν ἐν οὐρανοῖς περιστάμενοι τῷ θρόνῳ τῆς Μεγαλωσύνης καί θεωροῦντες αὐτοψί τήν δόξαν τοῦ Θεοῦ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καί δεδοξασμένῃ εἰς αἰῶνας αἰώνων.

Ἀκολούθως οἱ κανόνες τῆς Θεοτόκου καί τῶν ἀποστόλων.

**Ὁ κανών** «Ὑγράν διοδεύσας ὡσεί ξηράν...» (μικρά παράκλησις Θεοτόκου) καί ὁ κάτωθι τῶν ἀποστόλων.

**Ὁ κανών τῶν Ἀποστόλων, οὗ ἡ Ἀκροστιχίς**

Ἀποστόλοις πλέξωμεν ἔνθεον μέλος.

Ποίημα Ἰωσήφ

### Ὠδή α΄. Ἦχος γ΄. Ὁ Εἱρμός.

Ὁ τά ὕδατα πάλαι.

Ἀποστόλων Ἁγίων, τήν πανα-γίαν συμφώνως, πανηγυρίσωμεν μνήμην, καί αὐτούς μέλψωμεν, ἐν εὐφροσύνῃ ψυχῆς· τόν γάρ ὑπεράγιον, καθικετεύουσι Λόγον, ἱλασμόν δωρήσασθαι, ἡμῖν καί ἔλεος.

Πολυθέου μανίας, τήν σηπεδόνα σοβοῦντες, τοῦ λόγου ἅλατι θείῳ, τάς ψυχάς ἔνδοξοι, τάς μωρανθείσας ποτέ, πάσας ὑγιώσατε, καί σεσωσμένας τῷ Κτίστῃ, πάντων παρεστήσατε· ὅθεν δοξάζεσθε.

Ὁ κλεινός Ἡρῳδίων, Ροῦφος καί Ἄγαθος, Φλέγων καί ὁ Ἀσύγκριτος ἅμα, καί Ἑρμῆς ᾄσμασι μακαριζέσθωσαν, γνήσιοι γενόμενοι, τοῦ Λυτρωτοῦ ἡμῶν φίλοι, καί σοφοί Ἀπόστολοι, καί θεῖοι κήρυκες.

### Θεοτοκίον

Συμπαθής Θεοτόκε, τῶν Ἀποστόλων τό κλέος, τῶν Ἀθλοφόρων ἡ δόξα, καί πιστῶν στήριγμα, στήριξον δέομαι, τόν περιτρεπόμενον, ταῖς ἐπηρείαις τοῦ πλάνου, νοῦν μου και σκοτούμενον, ταῖς παραβάσεσιν.

www.tezaurliturgic.ro

**Ὠδή γ΄. Ὁ Εἱρμός.**

Ὁ ἐκ μή ὄντων τά πάντα.

Τῆς Ἐκκλησίας γενόμενοι ὀφθαλμοί, πολλῶν διηνοίξατε, ὀφθαλμούς ἐνοπτρίζεσθαι, κάλλος τό ἀμήχανον, θεοειδεῖς Μαθηταί Θεοῦ τοῦ Λόγου.

Οἶκος Τριάδος ἐδείχθης φωτοειδής, Ροῦφε παναοίδιμε καί τῷ λόγῳ τῆς χάριτος, ναούς κατηδάφισας, καί ἐδομήσω Κυρίῳ Ἐκκλησίας.

Λόγῳ σου θείῳ νεώσας Ροῦφε σοφέ, καρδίας κατέσπειρας, τά σωτήρια δόγματα καί πολύχουν ἄσταχυν, τήν τῶν σωθέντων, ἐδρέψω σωτηρίαν.

**Θεοτοκίον**

Ὁ κατ' οὐσίαν ὑπάρχων τήν θεϊκήν, ἀπρόσιτος Ἄχραντε, προσιτός μοι νῦν γέγονε, καί σαρκός προσλήμματι, ὅλως ἡνώθη δι' ἄκραν εὐσπλαχνίαν.

**Ὁ Εἱρμός.**

Ὁ ἐκ μή ὄντων τά πάντα.

**Κάθισμα. Ἦχος α΄**

Τόν τάφον σου Σωτήρ.

Ἀκτῖνες νοητοῦ, γεγονότες Ἡλίου, φαιδρύνετε τήν γῆν, ταῖς τῶν λόγων ἀκτῖσι, καί σκότος ἐλαύνετε, ἀγνωσίας ἐν χάριτι· ὅθεν σήμερον, ἐν τῇ φαιδρᾷ ὑμῶν μνήμῃ, λαμπρυνόμενοι, φωτοειδεῖς Θεηγόροι, ὑμᾶς μακαρίζομεν.

**Θεοτοκίον**

Ἐγγίζει ὁ Κριτής, ἐπί θύραις τό τέλος· γρηγόρησον ψυχή, καί ἐκ βάθους καρδίας, στενάξασα βόησον, τῇ Μητρί τοῦ Θεοῦ ἡμῶν· Ἐλευθέρωσον, τῶν φοβερῶν με βασάνων, καί ἐν τόπῳ με, τῆς ἀναπαύσεως τάξον, Πανάχραντε Δέσποινα.

**Ἤ Σταυροθεοτοκίον**

Ὡς εἶδεν ἐν Σταυρῷ, ἡ Ἀμνάς σε τόν Ἄρνα, κρεμάμενον Χριστέ, τῶν κακούργων ἐν μέσῳ, ἐβόα δακρύουσα, καί πικρῶς ὀλολύζουσα· Τέκνον φίλτατον, τί τό ὁρώμενον ξένον; Μῆτερ ἄνανδρε, ζωή παγκόσμιος τοῦτο, ἀντέφης, γνωσθήσεται.

**Ὠδή δ΄. Ὁ Εἱρμός.**

Ἔθου πρός ἡμᾶς, κραταιάν ἀγάπησιν.

Ἰάμα πιστοῖς, διά γλώσσης θεῖον προσφέροντες, γῆν τῆς ἀσεβείας πονηράν, καταστροφῇ Σοφοί παρεδώκατε, καί ᾠκοδομήσατε, ψυχάς ἐν πίστει· ὅθεν μακαρίζεσθε.

Σθένος διά σοῦ, Ἡρῳδίων μάκαρ ἐνδέδυται, πόλις τῶν Πατρῶν περιφανῶς· πρῶτος τόν θρόνον γάρ κατεκόσμησας, θείαις ἐλλαμπόμενος, φωτοχυσίαις, τοῦ Ἁγίου Πνεύματος.

www.teologic.ro

Πόλις τῶν Πατρῶν, πολιστήν σε μέγαν ἐπλούτησε, μάκαρ Ἡρῳδίων ἀληθῶς, πρός τήν Σιών τήν ἄνω μετάγοντα ταύτην ἀληθέστατα· ὅθεν τιμᾷ σε, θείοις μελῳδήμασι.

**Θεοτοκίον**

Λόγῳ ἱερῷ, τοῦ Πατρός τόν Λόγον συνέλαβες, πάσης ἀλογίας τούς βροτούς, θεογεννῆτορ Κόρη λυτρούμενον· ὅθεν λόγοις πάντοτε, μεγαλοφώνως, θείοις σε δοξάζομεν.

**Ὠδή ε΄. Ὁ Εἱρμός.**

Ἐπί της γῆς ὁ ἀόρατος...

Ἐπί τῆς γῆς τόν ἐλθόντα τοῦ σῶσαι, τό πλανηθέν, ἐκηρύξατε Λόγον, θεῖοι Ἀπόστολοι, καί τῆς πλάνης ἅπαντας, τούς ἀνθρώπους ἐλυτρώσασθε.

Ξενοπρεπῶς προφητείας σοι χάρις, παρά Θεοῦ ἐξεχύθη πλουσίως, θεόφρον Ἄγαβε· προφωνεῖς γάρ δήλωσιν, τῶν μελλόντων ἐμφανέστατα.

Ὤφθης ποτέ προσημαίνων τῷ Παύλῳ, ἐπιβουλήν καί δεσμά καί κακώσεις, Προφῆτα Ἄγαβε, ὁπηνίκα χεῖράς σου, τῇ ἐκείνου ζώνῃ ἔδησας.

**Θεοτοκίον**

Μόνη ἐν γῇ τοκετόν ἔσχες ξένον, μόνον ἡμᾶς καταλλάσσοντα μόνῳ, τῷ προανάρχῳ Πατρί· διά τοῦτο μόνην σε, ὡς Θεοῦ Μητέρα σέβομεν.

**Ὠδή ϛ΄. Ὁ Εἱρμός.**

Ἄβυσσος ἐσχάτη.

Ἔθετο λαμπάδας ὡς φωταυγεῖς, ὑμᾶς ὁ Λόγος, οἰκουμένην φωτίζοντας, καί το σκότος λύοντας, θεοειδεῖς Ἀπόστολοι, καί δεικνύοντας, τήν ὁδόν τήν σωτήριον.

Νέκρωσιν κηρύττων τοῦ ἀπαθοῦς, νενεκρωμένους, πρός ζωήν προσηγάγετο, ὁ σοφός Ἀσύγκριτος, Ἀποστόλων τό καύχημα. Ὑρκανίας τε, τό σοφόν περιτείχισμα.

Ἕδρέ σε Ἀσύγκριτε ποταμόν, ναμάτων πλήρη, Ὑρκανία τοῦ Πνεύματος, καί σεπταῖς ἀρδείαις σου, καταρδευθεῖσα ἤνεγκεν, ὡραιότατα, τῷ Δεσπότῃ βλαστήματα.

**Θεοτοκίον**

Νόμου σε ετύπου ἡ κιβωτός, τήν δεξαμένην νόμου θείου τό πλήρωμα, καί σαρκί κυήσασαν, καί μετά τόκον μείνασαν, ἀειπάρθενον, ὡς πρό τόκου Θεόνυμφε.

**Ὁ Εἱρμός**

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

www.tezaurliturgic.ro

### Συναξάριον

• Τῇ Η΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ἡρῳδίωνος, Ἀγάβου, Ρούφου, Φλέγοντος, Ἀσυγκρίτου καί Ἑρμοῦ.

### Στίχοι

Εὐαγγελίου τόν καλόν δραμών δρόμον,
Ἡρῳδίων κάλλιστον ἥρατο στέφος.
Ψυχήν Ἀγάβου τοῦ Προφηταποστόλου,
Ὁ ψυχοσώστης προσκαλεῖται Δεσπότης.
Σβέσας πλάνης φλέγουσαν ὁ Φλέγων φλόγα,
Οὕς Δαυΐδ εἶπε, πῦρ φλέγον, βλέπει Νόας.
Παῦλος καλεῖ σε, Ροῦφ', Ἀπόστολος μέγας.
Ἐκλεκτόν ὄντως· ὦ ἐπαίνου ἀξίου!
Ἀσύγκριτον δέ πᾶς ἐπαινέσει μάλα·
Τοῦτον γάρ ἠσπάσατο Παύλου τό στόμα.
Ἑρμῇ θανόντι τῷ μαθητῇ Κυρίου,
Ἕρμφον ἔμπνουν ἐκ λόγων ἀναγλύφω.
Ὀγδοάτῃ μετέβησαν Ἀπόστολοι, ἀγγελέες τε.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Κελεστίνου Πάπα Ρώμης.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

### Ὠδή ζ΄. Ὁ Εἱρμός

Τό πρίν εἰκόνι τῇ χρυσῇ.

Θεμελιώσαντες καλῶς, ἐν πέτρᾳ τῆς Πίστεως τῶν ἐθνῶν τά πληρώματα, λίθους πάλαι τούς σεβομένους μάτην, κατεφώτισαν σοφῶς οἱ Θεηγόροι.

Ἔφλεξας Φλέγον ἱερέ, πυρί θείῳ ἅπασαν, τῆς ἀπάτης τήν ἄκανθαν, καί καρδίας ἀθλίως ἐσβεσμένας, θέρμῃ Πνεύματος, ἀνῆψας ἀριδήλως.

Οἱ Μαραθῶνος οἰκισταί, προστάτην σέ μέγιστον, καί διδάσκαλον ἄριστον, καί φωστῆρα καί ποδηγέτην σχόντες, Φλέγον ἔνδοξε, τιμῶσί σε ἀπαύστως.

### Θεοτοκίον

Νέος Παράδεισος ἡμῖν, ζωῆς ξύλον ἄχραντε, κεκτημένος γεγένησαι· οὗ ἡ βρῶσις, τούς βρώσει τεθνηκότας ἀνεζώωσεν, ἁγνή Θεογεννῆτορ.

### Ὠδή η΄. Ὁ Εἱρμός

Βαβυλωνία κάμινος.

Μακαριζέσθω Ἄγαβος, Φλέγων καί Ἀσύγκριτος, Ροῦφος καί Ἑρμῆς ὁ εὐκλεής, καί Ἡρῳδίων σήμερον, τοῦ Λόγου γεγονότες θεῖοι Ἀπόστολοι, καί φωστῆρες τοῦ κόσμου, καί ἐθνῶν διδάσκαλοι.

www.tezaurliturgic.ro

Ἑρμῆς, ὁ πανοαοίδιμος, Δαλματίας γέγονε, πάσης ὁδηγός καί φωτισμός· ἐν ταύτῃ γάρ ὡς ἥλιος πολύφωτος ἐπέστη, τελῶν ἐξαίσια, καί φωτίζον καρδίας, ἀβλεπτούσας πρότερον.

Λόγον ὡς λύχνον φαίνοντα, Ἑρμῆ φέρων ἔνδοξε, τούς ἐν τῇ νυκτί τῶν δυσχερῶν, καθημένους ἐφώτισας· ἰάσεις καί σημεῖα τελῶν δέ μέγιστα, ἐφειλκύσω πρός πίστιν, ἀπίστων τό πλήρωμα.

**Τριαδικόν**

Οἱ τήν Τριάδα σέβοντες, Πατέρα δοξάσωμεν, Υἱόν προσκυνήσωμεν πιστῶς, καί Πνεῦμα τό Ἅγιον, τρισίν ἐν χαρακτῆρι, μίαν Θεότητα ἡνωμένην τῇ φύσει, ἁπλῆν ἀδιαίρετον.

**Θεοτοκίον**

Σέ προστασίαν ἔχομεν, Ἄχραντε οἱ δοῦλοί σου, καί πρός τόν Υἱόν σου καί Θεόν, μεσῖτιν ἀκαταίσχυντον· κινδύνων ἡμᾶς σῷζε, καί πειρασμῶν σεμνή, ἵνα πίστει καί πόθῳ, ἀεί σε δοξάζωμεν.

**Ὁ Εἱρμός**

Βαβυλωνία κάμινος

**Ὠδή θ΄. Ὁ Εἱρμός**

Τήν ἐν βάτῳ καί πυρί...

Ἱερώτατον χορόν συστησώμεθα πιστῶς ἐν ὁμονοίᾳ ψυχῆς μακαρίζοντες θερμῶς Ἑρμῆν καί Ἡρῳδίωνα, Ροῦφον, Ἄγαβον, Ἀσύγκριτόν τε τόν μέγαν, καί Φλέγοντα τόν θεῖον, τοῦ Λόγου αὐτόπτας χρηματίσαντας.

Ὡς ἐλαῖαι μυστικαί, δεδειγμένοι ἀληθῶς, οἱ Θεηγόροι ἡμῶν, καθιλάρυναν ψυχάς, καί πρόσωπα ἐν χάριτι, καί ἐρρύσαντο ἀθέου δυναστείας, καί σκότους ἀγνωσίας· ὅθεν ἐπαξίως μακαρίζονται.

Στεναγμῶν ἡμᾶς πολλῶν, καί δουλείας τοῦ ἐχθροῦ, καί παλαιοῦ πτερνιστοῦ, ἐλυτρώσατε σοφοί, τοῦ Λυτρωτοῦ Ἀπόστολοι, καί ἐδείξατε τάς τρίβους, τάς φερούσας ἐνθέῳ πεποιθήσει, πρός τήν Βασιλείαν τήν οὐράνιον.

Ἡ ἑξάφωτος λαμπάς, τῶν ἁγίων Μαθητῶν, ἱκέτευε ἐκτενῶς, τήν Τρισήλιον αὐγήν, φωτίσαι τάς ψυχάς ἡμῶν, τῶν τήν πάμφωτον τελούντων ὑμῶν μνήμην, καί ῥύσασθαι ἐκ σκότους, καί τῆς αἰωνίου κατακρίσεως.

**Θεοτοκίον**

Φλογοφόρος ὡς λαβίς, ὑπεδέξω ἐν γαστρί, ἄνθρακα τόν νοητόν, καταφλέγοντα ἡμῶν, τά πάθη καί φωτίζοντα, τάς ψυχάς ἡμῶν, καί λύοντα τό σκότος, τῆς εἰδωλομανίας, ἄχραντε Παρθένε πολυΰμνητε.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ἀνοίξω τό στόμα μου... Τιμιωτέρα ...εἰς ἦχον (Δ΄).

www.tezaurliturgic.ro

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Τήν ἱεράν πανήγυριν τῶν ἀποστόλων σήμερον, ᾠδαῖς καί ὕμνοις τιμῶμεν, ὡς ὑπηρέτας τοῦ Λόγου, εὐθέως μεγαλύνοντες τούς ἄθλους καί τά σκάμματα, ὅτι λαούς ἐφώτισαν Τριάδα σέβειν Ἁγίων, Πατέρα, Υἱόν καί Πνεῦμα.

**Θεοτοκίον**

Μαρία ἀειπάρθενε Χριστιανῶν προσφύγιον, ἁμαρτωλῶν προστασία καί θλιβομένων γαλήνη· τῆς συνεχούσης θλίψεως τόν νοῦν μου ἐλευθέρωσον καί χαρμονήν οὐράνιον, παράσχου ἐν τῇ ψυχῇ μου παθῶν ἐλαύνουσαν νέφος.

## ΑΙΝΟΙ

**Ἦχος πλ. δ´**

Τί ὑμᾶς καλέσωμεν ἅγιοι; φωτιστάς τῆς οἰκουμένης, ὁδηγήτορας λαῶν, ἰαθτῆρας τῶν ἀνθρώπων καί θαυμάτων αὐτουργούς; δοχεῖα ἱερώτατα τῆς χάριτος, ταμεῖα θεῖα χάριτος ἀκένωτα· ὄντως μεγίστη ἡ χάρις ὑμῶν, παρά Θεοῦ τοῦ παντάνακτος· πρεσβεύσατε τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

Χάριν ἐκομίσω θεσπέσιε, προφητείας τοῦ προλέγειν τά ἐπόμενα δεινά, καί τά μέλλοντα γενέσθαι προγινώσκειν ἀκριβῶς. Τοῦ Παύλου σύ προέγνως τήν φυλάκισιν, εἰς πόλιν τήν ἁγίαν σοφέ Ἄγαβε. Διό εἰς πάντα ἠλήθευσας καί Παῦλος δέσμιος γέγονεν, καί φυλάκισιν καί θλίψεις πολλάς ὑπέφερε.

Τί ὑμᾶς προσείπω ἀπόστολοι; ὀφθαλμούς τῆς Ἐκκλησίας καθορῶντας εὐκρινῶς, τόν βυθόν τῆς ἁμαρτίας καί τούς ὄντας ἐν αὐτῷ; ἀκτῖνας ἀστραπτούσας ἐν τοῖς πέρασι τῆς πλάνης ὀλετῆρας ὑπερζέοντας. Πολλά ὑμῶν τά ὀνόματα καί μείζονα τά χαρίσματα· πρεσβεύσατε τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

Δεῦτε ἀνυμνήσωμεν ᾄσμασιν ἀποστόλων τήν ἑξάδα τήν δοξάσασαν Χριστόν, καί κηρύξαντας τόν λόγον τοῦ Θεοῦ ἀνελλιπῶς; τόν Ἄγαβον καί Ροῦφον καί τόν Φλέγοντα, Ἑρμῆν τε, Ἡρωδίωνα, Ἀσύγκριτον, τούς ἀθλοφόρους τῆς πίστεως τούς ὑπέρ ἡμῶν ἱκετεύοντας τοῦ δοθῆναι ἡμῖν πταισμάτων ἄφεσιν.

**Δόξα. Ἦχος Α´**

Δεῦτε πιστοί ἐπαρθῶμεν ἐνθέως καί συνευφρανθῶμεν εὐτόνως ἐπί τῇ πανιέρῳ μνήμῃ τῶν σοφωτάτων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ἡρωδίωνος, Ἀγάβου, Ρούφου, Φλέγοντος, Ἀσυγκρίτου καί Ἑρμᾶ. Οὗτοι γάρ ὡς ἀξιόθεοι παλαισταί καί πιστότατοι πρόμαχοι τῆς ἀληθείας, ἐχθροῖς ὁρατοῖς καί ἀοράτοις εὐσεβοφρόνως ἀντέστησαν καί τήν ὀρθόδοξον πίστιν ἐκράτυναν· καί νῦν χοροβατοῦντες ἐν τοῖς σκηνώμασι τῆς ἄνω κληρουχίας, πρεσβεύουσιν ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Καί νῦν:** Ἐκτός τριωδίου λεγόμεν Θεοτοκίον τοῦ ἤχου, ἐν δέ τῇ Μεγάλῃ τεσσαρακοστῇ ψάλλομεν καί νῦν ἐκ τῆς προλαβούσης ἑορτῆς.

www.tezaurliturgic.ro

## ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Ἀπολυτίκιον ἁγίου ἑορτάζοντος καί ἐν συνεχεία ἡ προηγιασμένη ὡς ἀνωτέρω διεγράφη.

Δόξα σοι τῷ δείξαντι τό φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καί ἐπί γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διά τήν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱέ μονογενές, Ἰησοῦ Χριστέ, καί Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνός τοῦ Θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τάς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τήν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καί ἐλέησον ἡμᾶς.

Ὅτι σύ εἶ μόνος Ἅγιος, σύ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καί αἰνέσω τό ὄνομά σου εἰς τόν αἰῶνα, καί εἰς τόν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητός εἶ, Κύριε, ὁ Θεός τῶν Πατέρων ἡμῶν, καί αἰνετόν καί δεδοξασμένον τό ὄνομά σου εἰς τούς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τό ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σέ.

Εὐλογητός εἶ, Κύριε· δίδαξόν με τά δικαιώματά σου (γ´).

Κύριε, καταφυγή ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καί γενεᾷ. Ἐγώ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τήν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρός σέ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μου.

Ὅτι παρά σοί πηγή ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τό ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ´).

www.tezaurliturgic.ro

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## Στάσις Α΄ Ἀκολουθία τῶν Τυπικῶν

### Ψαλμός (102) Ἦχος πλ. δ΄

Εὐλόγει ἡ ψυχή μου τόν Κύριον. Εὐλογητός εἶ Κύριε.

Εὐλόγει, ἡ ψυχή μου, τόν Κύριον, καί πάντα τά ἐντός μου τό ὄνομα τό ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τόν Κύριον, καί μή ἐπιλανθάνου πάσας τάς ἀνταποδόσεις αὐτοῦ.

Τόν εὐιλατεύοντα πάσας τάς ἀνομίας σου, τόν ἰώμενον πάσας τάς νόσους σου.

Τόν λυτρούμενον ἐκ φθορᾶς, τήν ζωήν σου, τόν στεφανοῦντά σε ἐν ἐλέει καί οἰκτιρμοῖς.

Τόν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τήν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καί κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τάς ὁδούς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραήλ τά θελήματα αὐτοῦ.

Οἰκτίρμων καί ἐλεήμων ὁ Κύριος, μακρόθυμος καί πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδέ εἰς τόν αἰῶνα μηνιεῖ.

Οὐ κατά τάς ἀνομίας ἡμῶν, ἐποίησεν ἡμῖν, οὐδέ κατά τάς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατά τό ὕψος ἡμῶν, ἐποίησεν ἡμῖν, οὐδέ κατά τάς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατά το ὕψος τοῦ οὐρανοῦ ἀπό τῆς γῆς, ἐκραταίωσε Κύριος τό ἔλεος αὐτοῦ ἐπί τούς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαί ἀπό δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τάς ἀνομίας ἡμῶν.

Καθώς οἰκτείρει πατήρ υἱούς, ᾠκτείρησε Κύριος τούς φοβουμένους αὐτόν.

Ὅτι αὐτός ἔγνω τό πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

Ἄνθρωπος, ὡσεί χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεί ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καί οὐχ ὑπάρξει, καί οὐκ ἐπιγνώσεται ἔτι τόν τόπον αὐτοῦ.

Τό δέ ἔλεος τοῦ Κυρίου ἀπό τοῦ αἰῶνος, καί ἕως τοῦ αἰῶνος ἐπί τούς φοβουμένους αὐτόν.

Καί ἡ δικαιοσύνη αὐτοῦ ἐπί υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τήν διαθήκην αὐτοῦ, καί μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τόν θρόνον αὐτοῦ, καί ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τόν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοί ἰσχύι, ποιοῦντες τόν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τόν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοί αὐτοῦ, οἱ ποιοῦντες τό θέλημα αὐτοῦ.

Εὐλογεῖτε τόν Κύριον, πάντα τά ἔργα αὐτοῦ, ἐν παντί τόπῳ τῆς δε-

www.tezaurliturgic.ro

σποτείας αὐτοῦ. Εὐλόγει, ἡ ψυχή μου τόν Κύριον.

**Δόξα και Νῦν**

Εὐλόγει ἡ ψυχή μου τόν Κύριον καί πάντα τά ἐντός μου τό ὄνομα τό Ἅγιον αὐτοῦ· εὐλογητός εἰ Κύριε.

Δόξα τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι.

**Ψαλμός ρμε΄ (145)**

Αἶνει, ἡ ψυχή μου, τόν Κύριον, αἰνέσω Κύριον, ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Μή πεποίθατε ἐπ' ἄρχοντας, ἐπί υἱούς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τό πνεῦμα αὐτοῦ, καί ἐπιστρέψει εἰς τήν γῆν αὐτοῦ.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοί αὐτοῦ.

Μακάριος, οὗ ὁ Θεός Ἰακώβ βοηθός αὐτοῦ, ἡ ἐλπίς αὐτοῦ ἐπί Κύριον τόν Θεόν αὐτοῦ.

Τόν ποιήσαντα τόν οὐρανόν καί τήν γῆν, τήν θάλασσαν καί πάντα τά ἐν αὐτοῖς.

Τόν φυλάσσοντα ἀλήθειαν εἰς τόν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφήν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους· Κύριος σοφοῖ τυφλούς· Κύριος ἀνορθοῖ κατερραγμένους· Κύριος ἀγαπᾷ δικαίους· Κύριος φυλάσσει τούς προσηλύτους.

Ὀρφανόν καί χήραν ἀναλήψεται, καί ὁδόν ἁμαρτωλῶν ἀφανιεῖ.

Βασιλεύσει Κύριος εἰς τόν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεάν καί γενεάν.

Καί νῦν...

Ὁ Μονογενής Υἱός καί Λόγος τοῦ Θεοῦ...

**ΟΙ Μακαρισμοί**

Ὁ Χορός ἄρχεται τῶν Μακαρισμῶν οὕτως·

**Ἦχος πλ. δ΄**

Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοί τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοί παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοί κληρονομήσουσι τήν γῆν.

Μακάριοι οἱ πεινῶντες και διψῶντες τήν δικαιοσύνην, ὅτι αὐτοί χορτασθήσονται.

Καί ἀπό τοῦ ἑπομένου Στίχου ψάλλονται τά τῶν Μακαρισμῶν 8 Ἀναστάσιμα Στιχηρά, μετά τῶν λοιπῶν Μακαρισμῶν· ἄν ὅμως ὁ Ἅγιος τῆς ἡμέρας ἢ ἑορταζόμενος, λέγονται μόνον τά 4 πρῶτα Ἀναστάσιμα Στιχηρά καί ἔπειτα ἐκ τῆς ς΄ ᾠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου ἕτερα 4.

1. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοί ἐλεηθήσονται.
2. Μακάριοι οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται.
3. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοί υἱοί Θεοῦ κληθήσονται.

www.tezaurl

4. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
5. Μακάριοί ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καί διώξωσι, καί εἴπωσι πᾶν πονηρόν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.
6. Χαίρετε καί ἀγαλλιᾶσθε, ὅτι ὁ μισθός ὑμῶν, πολύς ἐν τοῖς οὐρανοῖς.
7. Δόξα Πατρί, καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
8. Καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

## ΕΠΙΣΤΟΛΑΙ ΠΑΥΛΟΥ

ΠΕΡΙΟΔΟΣ Β΄

## ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΩΘΙΝΟΝ Ι΄

**Προκείμενον, Ἦχος α΄**

Γένοιτο, Κύριε, τό ἔλεός σου ἐφ' ἡμᾶς.
Στίχ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

**Πρός Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα**

Ἀδελφοί, ὁ Θεός ἡμᾶς τούς Ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καί ἀγγέλοις καί ἀνθρώποις. Ἡμεῖς μωροί διά Χριστόν, ὑμεῖς δέ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δέ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δέ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καί πεινῶμεν, καί διψῶμεν, καί γυμνητεύομεν, καί κολαφιζόμεθα, καί ἀστατοῦμεν, καί κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητά νουθετῶ. Ἐάν γάρ μυρίους παιδαγωγούς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλούς πατέρας· ἐν γάρ Χριστῷ Ἰησοῦ διά τοῦ Εὐαγγελίου ἐγώ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

**Ἀλληλούϊα, Ἦχος α΄**

Ὁ Θεός ὁ διδούς ἐκδικήσεις ἐμοί.
Στίχ. Μεγαλύνων τάς σωτηρίας τοῦ βασιλέως.

**Τό Εὐαγγέλιον**

(Ζήτει τῇ 18η Ὀκτωβρίου)

**Ἐκ τοῦ κατά Λουκᾶν**

(Κεφ. ι΄, 16—21)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καί ὁ ἀθετῶν ὑμᾶς, ἐμέ ἀθετεῖ, ὁ δέ ἐμέ ἀθετῶν, ἀθετεῖ τόν ἀποστείλαντά με. Ὑπέστρεψαν δέ οἱ Ἑβδομήκοντα μετά χαρᾶς, λέγοντες· Κύριε, καί τά δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δέ αὐτοῖς· ἐθεώρουν τόν Σατανᾶν ὡς ἀστραπήν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. Ἰδού δίδωμι ὑμῖν τήν ἐξουσίαν, τοῦ πατεῖν ἐπάνω ὄφεων καί σκορπίων, καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ, καί οὐδέν ὑμᾶς οὐ μή ἀδική-

www.tezaurliturgic.ro

σει. Πλήν ἐν τούτῳ μή χαίρετε, ὅτι τά Πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δέ ὅτι τά ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ Πνεύματι ὁ Ἰησοῦς, καί εἶπεν· ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καί τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπό σοφῶν καί συνετῶν, καί ἀπεκάλυψας αὐτά νηπίοις· ναί ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

### Κοινωνικόν

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ῥήματα αὐτοῦ.